Ἀντὶ δὲ τοῦ κλεῖναι, σὺν τοῖς λιτῆσι κολάζει,
Δέσμιον ὡς λῃστὴν εἰς τὸ βάραθρον ἐνείς.

ΑΡΧΙΟΥ.

Ὁ στεφυλοκλοπίδας ἐπαλώνυμος εἰς ἀΐδαο
Ἔδραμε, μαστιχθεὶς κλήμασι φωριδίῳ.

Ἄδηλον.

Μισῶ τὸν ἄνδρα τὸν διπλοῦν πεφυκότα,
Χρηστὸν λόγοισι, πολέμιον δὲ τοῖς τρόποις.

---

ΕΙΣ ΠΟΡΝΑΣ, κεφ. οϛ.

ΠΑΛΛΑΔΑ.

Τὴν κίρκην οὔ φημι, καθὼς εἴρηκεν Ὅμηρος,
Ἀντ' ἀνδρῶν ποιεῖν ἢ σύας, ἠὲ λύκους,
Τοὺς αὐτῇ προσιόντας· ἑταίρα δ' οὖσα πανοῦργος
Τοὺς δελεασθέντας πτωχοτάτους ἐποίει.
Τῶν δ' ἀνθρωπείων ἀποσυλήσασα λογισμῶν,
Εἶτ' ἀπὸ τῶν ἰδίων μηδὲν ἔχοντας ἔτι,
Ἔτρεφεν ἔνδον ἔχουσα, δίκην ζώων ἀλογίστων,
Ἔμφρων δ' ὢν Ὀδυσεὺς, τὴν νεότητα φυγὼν,
Οὐχ Ἑρμοῦ, φύσεως δ' ἰδίας δώρημα λογισμὸν
Εἶχε, γοητείας φάρμακον ἀντίπαλον.

ΣΙΜΩΝΙΔΟΥ.

Εὐφρὼ καὶ Θαῒς καὶ Βοίδιον, αἱ Διομήδους
Γραῖαι, ναυκλήρων ὁλκάδες εἰκόσοροι,
Ἄγιν καὶ Κλεοφῶντα, καὶ Ἀνταγόρην ἕν' ἑκάστη
Γυμνοὺς ναυηγῶν ἥσσονας ἐξέβαλον.

Ἀλλὰ